ἔφη, αἴσωπε, ἐγώ σοι τὸ ζῆν οὐ δίδωμι, ἀλλ' ἡ μοῖρα.
ὃ δὲ θέλεις, αἴτησαί μοι καὶ λήψῃ. αἴσωπος ἔφη, δέο-
μαί σου δέσποτα, διαλλάγηθι σαμίοις. εἰπόντος δὲ τοῦ
βασιλέως, κατήλλαγμαι, προσπεσὼν ὁ αἴσωπος, ηὐ-
χαρίστησε. συγγράψας οὖν τοὺς ἰδίους μύθους τοὺς μέχρι καὶ
νῦν ἀναγινωσκομένους, κατέλιπε τῷ βασιλεῖ. καὶ λα-
βὼν παρ' αὐτοῦ γράμματα πρὸς τοὺς σαμίους ὡς ἕ-
νεκεν αἰσώπου κατηλλάχθαι αὐτοῖς, καὶ πολλὰ δὲ
δῶρα παρὰ τοῦ βασιλέως εἰληφὼς πλεύσας ἦλθεν
εἰς τὴν σάμον. ὡς οὖν εἶδον αὐτὸν οἱ σάμιοι, στέμ-
ματα καὶ χοροὺς ἤγειραν εἰς τὴν πόλιν. ὁ δὲ ἐκκλη-
σίαν ἐπισημηνάμενος ἀνέγνω αὐτοῖς τὰ τοῦ βασιλέ-
ως γράμματα, δείξας αὐτοῖς ἀνταμοιβὴν τῆς παρ'
αὐτὸν γινομένης ἐλευθερίας ἐπ' αὐτόν. οἱ δὲ σάμι-
οι εὐεργετηθέντες, τιμὰς καὶ τέμενος αὐτῷ ἐψηφί-